www.tezaurliturgic.ro



**ΑΚΟΛΟΥΘΙΑ**
**ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ**
**ΑΜΦΙΛΟΧΙΟΥ ΤΟΥ ΕΝ ΠΑΤΜΩι**

**Οὗ ἡ Μνήμη τῇ ΙΣΤ΄ Ἀπριλίου**

*Ποιηθεῖσα*
*ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη, Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ρόδου.*

ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ε᾿πέφανε σήμερον φαιδρά, Πάτερ Ἀμφιλόχιε, τῇ Ἐκκλησίᾳ ἡ μνήμη σου, καταπυρσεύουσα, τῇ φωτοχυσίᾳ, τῆς σεπτῆς σου χάριτος, τῆς ἄνωθεν πλουσίως δοθείσης σοι, τοὺς εὐφημοῦντάς σε, ὡς Ὁσίων νέον καύχημα, καὶ Δικαίων, καινὸν ἐγκαλλώπισμα.

Ε᾿κ βρέφους ἐπόθησας Χριστόν, Πάτερ Ἀμφιλόχιε, καὶ δι᾿ αὐτὸν κατεφρόνησας, τῆς ματαιότητος, τοῦ προσκαίρου βίου· ὅθεν τῆς ἀσκήσεως, ἐτέλεσας ἐν κόσμῳ τὸ στάδιον, καὶ κατεσκήνωσας, Πρωτοτόκων ἐν σκηνώμασι, μνημονεύων, ἡμῶν τῶν τιμώντων σε.

Δοχεῖον γενόμενος σεπτόν, Πάτερ Ἀμφιλόχιε, ταῖς ἀρεταῖς τῆς ἀσκήσεως, τοῦ Θείου Πνεύματος, τῶν πιστῶν ἐδείχθης, ἐν ὑστέροις ἔτεσι, διδάσκαλος σοφὸς πρὸς εὐσέβειαν· διὸ τιμῶμέν σε, ἐξαιτούμενοι τὴν χάριν σου, δι᾿ ἧς πᾶσι, βραβεύεις τὰ κρείττονα.

Εὐφραίνεται σήμερον λαμπρῶς, Πάτερ Ἀμφιλόχιε, ἡ νῆσος Πάτμος τιμῶσά σε, καὶ ἐπαγάλλεται, τοῦ Ἠγαπημένου, τῆς Μητρός, μακάριε, Μονὴ ἡ σεβασμία πλουτοῦσά σου, θήκην τὴν πάντιμον, τῶν θαυμάτων ἀναβλύζουσαν, ἀενάως, πιστοῖς τὰ χαρίσματα.

Δόξα. Ἦχος δ΄.

Τίς σε ἀξίως μακαρίσει, Ἀμφιλόχιε Πάτερ, Ὁσίων ἐγκαλλώπισμα; σὺ γὰρ ἀπὸ παιδός, τὴν ἀρετὴν ἀσκήσας, τῆς χάριτος ἐγένου καταγώγιον, καὶ ἐν ἐσχάταις ἡμέραις, διὰ λόγων μεστῶν σοφίας, καὶ ἀμέμπτου βίου

παραδειγμάτων, τῆς εὐσεβείας τὴν δύναμιν, τοῖς ἀνθρώποις διετράνωσας. Ἀλλὰ πρέσβευε ἐκτενῶς, τῷ Σωτῆρι καὶ Θεῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾿κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Ἀσωμάτων Ἀγγέλων, τὸν ἰσοστάσιον, τὸν ἐπὶ γῆς ὀφθέντα, μαθητὴν τοῦ Δεσπότου, τιμήσωμεν ἐν ὕμνοις χρεωστικῶς, τὸν σοφὸν Ἀμφιλόχιον, ἵνα αὐτοῦ ταῖς πρεσβείαις πρὸς τὸν Θεόν, χάριν λάβωμεν σωτήριον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Δι᾽ ἀρετῆς θησαυρίσας, γνῶσιν τὴν ἄνωθεν, ὡς ἀετὸς διῆλθες, πλείστας πόλεις καὶ νήσους, μετάνοιαν κηρύττων λόγοις τοῖς σοῖς, ἱερὲ Ἀμφιλόχιε, καὶ τοὺς ἀνθρώπους παιδεύων κατὰ Θεόν, ὀρθοδόξως πολιτεύεσθαι.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Χαῖρε τῆς Πάτμου ὁ γόνος, τῆς Ἐκκλησίας φωστήρ, καὶ τῆς Μονῆς σου φύλαξ, Ἀμφιλόχιε Πάτερ· προστάτευε εὐχαῖς σου πρὸς τὸν Θεόν, τῶν ἀξίως τιμώντων σε, καὶ προστρεχόντων ἐν πίστει εἰλικρινεῖ, τῶν λειψάνων σου τῇ λάρνακι.

Δόξα. Ἦχος β’.

Α᾿σκητικοῖς ἀγῶσιν εὐδοκιμήσας, καὶ ἀποστολικοῖς καμάτοις διαπρέψας, εἰς ἑκατὸν ἐκτήσω ἐν οὐρανοῖς, τὸν μισθὸν τῶν κατορθωμάτων σου, Ἀμφιλόχιε Πάτερ Ὅσιε· διὸ ἐν δόξῃ, τῷ ἐν Τριάδι Θεῷ παριστάμενος, πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ὡς φωστὴρ παμφαής, ἐκ τῆς Πάτμου ἔλαμψας, ἐν χρόνοις τοῖς καθ᾽ ἡμᾶς, νεύσει τῇ ἄνωθεν, καὶ ηὔγασας μυστικῶς, τῆς Ἐκκλησίας λαὸν τὸν χριστώνυμον, τῇ θείᾳ ἀνατολῇ, τῆς δεδομένης ἐξ ὕψους σοφίας σου. Ὅθεν σήμερον ἐν ὕμνοις, Πάτερ Ἀμφιλόχιε, οἱ πιστοί σε τιμῶμεν, ἐν τῇ μνήμῃ σου χορεύοντες.

Βαβαὶ τῆς σῆς προμηθείας Χριστέ! σὺ γὰρ τῷ λαῷ σου, ἐν ἐσχάτοις ἔτεσιν, ἀνέδειξας ὁδηγόν, πρὸς βίον ἔνθεον, τὸν μέγαν ἐν ἀρεταῖς, καὶ ἐν σοφίᾳ πολὺν Ἀμφιλόχιον, τὸν βίῳ ἀσκητικῷ, ἀγγελικῶς ἐπὶ γῆς χρηματίσαντα. Ὅθεν ταῖς αὐτοῦ πρεσβείαις, δίδου τὰ συμφέροντα, τοῖς αὐτοῦ ἐκτελοῦσι, τὸ σεβάσμιον μνημόσυνον.

Τοὺς σοὺς ἀγῶνας γεραίρομεν, οὓς στεῤῥῶς ὑπῆλθες, ἀνταγωνιζόμενος, ἐν ὅπλοις πνευματικοῖς, τῷ κοσμοκράτορι· ὡς σκεῦος γὰρ ἐκλογῆς, ἀπὸ παιδὸς τῷ Κυρίῳ ἑπόμενος, οὐκ ὤκνησας γρηγορῶν, ἐν τῷ αὐτοῦ σωτηρίῳ θελήματι. Ὅθεν ἐν σκηναῖς Δικαίων, τούτῳ παριστάμενος, Ἀμφιλόχιε, αἴτει, τοῖς τιμῶσί σε τὰ κρείττονα.

Ἕτερα. Ἦχος β′. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν θεοφόρον; τὸν θεοστεφῆ Ἀμφιλόχιον, τὸν δι᾽ ἀρετῆς διαπρέψαντα, καὶ κοσμήσαντα τὴν Ἐκκλησίαν· τὸν λόγῳ, τῆς εὐσεβείας ὁδηγήσαντα, ἀνθρώπους, τῆς ἀληθείας πρὸς ἐπίγνωσιν· τὸν τῆς Μητρὸς τοῦ Δεσπότου, θεράποντα θεῖον, οὗ πρεσβείαις πρὸς τὸν Θεόν, κινδύνων λυτρούμεθα, οἱ πόθῳ αὐτὸν γεραίροντες.

Ποίοις μελῳδικοῖς ἔπεσιν, ἐπαινέσωμεν τὸν θεοφόρον; τὸν Θεοῦ ὀφθέντα διάκονον, καὶ Εὐαγγελίου κηρύξαντα, τὸ σωτήριον ἐν τοῖς ἐσχάτοις· τὸν ζήλῳ, πόλεις καὶ νήσους διατρέξαντα, καὶ πλείστους, δεσμῶν κακίας λυτρωσάμενον· τὸν ἐκ τῆς Πάτμου φωστῆρα, τῷ κόσμῳ φανέντα, Ἀμφιλόχιον τὸν σοφόν, τὸν πάντας φωτίζοντα, τῇ αἴγλῃ φωτὸς τῆς χάριτος.

Ποίοις εὐφραντικοῖς μέλεσιν, ἀνυμνήσωμεν τὸν θεοφόρον; τὸν τῆς εὐσεβείας ἐκφάντορα, καὶ τῆς μετανοίας διδάσκαλον, Ἀμφιλόχιον Θεοῦ

τὸν φίλον· τὸ νέον, τῶν Μοναζόντων ἐγκαλλώπισμα, καὶ κλέος, τῶν Ἱερέων καὶ παράδειγμα· τὸν θαυμαστὸν ἐν Ὁσίοις, οὗ ἡ λάρναξ βρύει, ἰαμάτων ποταμηδόν, ἀπαύστως τὰ νάματα, εἰς δόξαν Θεοῦ αἰώνιον.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον οἱ πιστοί, ἐτήσιον ἐκτελοῦντες, τὴν μνήμην τοῦ Ὁσίου Πατρός, πνευματικῶς εὐφρανθῶμεν, καὶ ἐν φωνῇ ἀγαλλιάσεως, τούτῳ ἀναβοήσωμεν· Χαίροις ὁ ἐκ κοιλίας μητρικῆς, τῷ ἐπὶ πάντων Θεῷ ἀφορισθείς, καὶ Εὐαγγελίου τὸν νόμον, ἐκπληρώσας τῷ βίῳ σου· χαίροις ὁ δι᾽ ἀγώνων ἀρετῆς, τοῦ Παρακλήτου λαβὼν τὰς δωρεάς, καὶ πολλῶν ἐν πλούτῳ ἀγάπης, εὐεργέτης γενόμενος· χαίροις τῆς Πάτμου τὸ βλάστημα, καὶ Μονῆς Ἠγαπημένου τῆς Μητρός, δομήτωρ ἐνθεώτατος. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς Χριστόν, Ἀμφιλόχιε μακάριε, τὴν εἰρήνην αἴτει, ταῖς ψυχαῖς τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν

ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε', 15-στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ', 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἁγιόβλαστος Πάτμος, τὸ τοῦ Ἠγαπημένου Μαθητοῦ, ἱερώτατον σχοίνισμα. Ἰδοὺ γὰρ ἐν σοὶ δαυϊτικῶς, ἐν τῇ καθ᾽ ἡμᾶς γενεᾷ, ὡς ὑψίκομος φοῖνιξ ἀρετῶν, τῇ ἀσκήσει ἐξήνθησεν, Ἀμφιλόχιος ὁ ἔνδοξος, ὁ τοῦ Ὁσίου Πατρὸς Χριστοδούλου, τῆς πολυφόρου φυτείας, τίμιον βλάστημα γενόμενος. Ὅθεν ἐν αὐτῷ καυχωμένη, καὶ τῆς χάριτος αὐτοῦ ἀπολαύουσα, τῷ Σωτῆρι βόησον· Πολυέλεε, Κύριε δόξα σοι.

Ὁ αὐτός.

Α᾽γάλλου καὶ χόρευε, ἡ τῆς Μητρὸς τοῦ Ἠγαπημένου, ἐν Πάτμῳ περίκλυτος Μονή, Ἀμφιλοχίου τοῦ δομήτορος, τὴν μνήμην ἑορτάζουσα σήμερον. Οὗτος γὰρ ὁ θαυμάσιος, ὡς κέδρος ἡ ἐν τῷ Λιβάνῳ, ἐν σοὶ ψαλμικῶς ἱστάμενος, τὰ τέκνα τῆς ἀσκήσεως, ἐν ταῖς αὐλαῖς σου ἐπλήθυνε, καὶ νοητόν σε παράδεισον, τῆς ἐν Χριστῷ ἀσκητικῆς διαγωγῆς, πνευματικῇ γεωργίᾳ ἀνέδειξεν. Ὅθεν τοῦτον προστάτην κεκτημένη, καὶ ἐκ τῆς θήκης αὐτοῦ, θαυμάτων δωρεὰς ἀρυομένη, τῷ Κυρίῳ βόησον· Φιλάνθρωπε Κύριε, δόξα σοι.

Ἦχος β΄.

Ο῞σιε Πάτερ, Ἀμφιλόχιε μακάριε, ἀπὸ παιδὸς Θεῷ ἀνατεθείς, τῶν ἐπιγείων κατεφρόνησας· καὶ τοὺς πάλαι Ὁσίους, τῷ βίῳ μιμούμενος, τῶν δωρεῶν τῆς χάριτος κατηξίωσαι· ἐντεῦθεν δι᾽ ἀγάπης θερμῆς, τὴν σωτηρίαν τοῦ πλησίον, ὅλῃ καρδίᾳ ἐξεζήτησας, καὶ πλείστους τόπους διαμείψας, καὶ πλανωμένων ὁδηγός, διὰ λόγων καὶ ἔργων γενόμενος, ἐξ ἀναξίων ἀξίους, πολλοὺς Χριστῷ προσήγαγες. Ὅθεν αὐτός σε ἀμειβόμενος, τῶν Ἁγίων τῆς χαρᾶς κατηξίωσε, μεθ᾽ ὧν πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ΄.

Χρεωστικῶς τὴν μνήμην σου σήμερον, οἱ εὐσεβεῖς ἐκτελοῦμεν, Ἀμφιλόχιε Πάτερ θεόληπτε· σὺ γὰρ τῷ πνεύματι ζέων, τῷ Κυρίῳ δουλεύων, τῇ ἐλπίδι χαίρων, τῇ θλίψει ὑπομένων, καὶ τῇ εὐχῇ προσκαρτερῶν, ἐν παντί σου τῷ βίῳ, ἀποστολικῶς διετέλεσας, καὶ τοῖς πᾶσι τὰ πάντα ἐγένου, ὡς τοῦ Παύλου θεόληπτος μιμητής, ἵνα πάντας κερδήσῃς, ἐν Χριστῷ Ἰησοῦ τῷ Σωτῆρι. Αὐτῷ οὖν ἐν δόξῃ, σὺν Ἁγίων χοροῖς παριστάμενος, πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ο῞σιε Πάτερ Ἀμφιλόχιε, τὸ τῆς Πάτμου βλάστημα καὶ καύχημα, ὁ ἐν ἀζύγῳ ὀχήματι ἀρετῶν, ὡς ὁ Θεσβίτης Ἠλίας, ἁρματηλάτης ἀπὸ γῆς,

πρὸς οὐρανοὺς ἐκδημήσας, τῆς ἱερᾶς νήσου σου μὴ παύσῃ, προστατεύων ταῖς πρεσβείαις σου· τὴν εὐαγῆ σου δὲ Μονήν, ἣν πόνοις ἀτρύτοις συνεκρότησας, καὶ τῇ Μητρὶ τοῦ Ἠγαπημένου ἀνέθηκας, τῆς ἀσκήσεως κυπρίζουσαν ἄμπελον, καθηγεσίᾳ τῶν εὐχῶν σου ἀνάδειξον· καὶ πᾶσι τοῖς προστρέχουσι, τῇ θήκῃ τῶν λειψάνων σου, τὰ κρείττονα αἴτει χαρίσματα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Ἀσκητικῆς πολιτείας, εἰς ὕψος ἀνελθών, καὶ εὐαγγελικῶς καρποφορήσας, ἐν Ἐκκλησίᾳ Θεοῦ, ἐν οὐρανοῖς ἐκτήσω εἰς ἑκατόν, κατορθωμάτων σου τὸν μισθόν, Ἀμφιλόχιε μακάριε, τῆς Πάτμου ἀγλάϊσμα· διὸ ἐκ τῶν λειψάνων σου, ὡς ἐκ κρήνης ἀφθόνου, ἀναβλύζεις ἰάματα, καὶ πηγάζεις χαρίσματα, εὐεργετῶν τοὺς προστρέχοντας. Ἀλλὰ πρέσβευε δεόμεθα, Ὅσιε Πάτερ, τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ ἀπὸ βρέφους Θεῷ, ἀκολουθήσας οὐρανίῳ φρονήματι, καὶ ἔργοις δικαιοσύνης, εὐαρεστήσας αὐτῷ, θεοφόρε Πάτερ Ἀμφιλόχιε· ὁ νοῦν δι᾽ ἀσκήσεως, τῶν παθῶν καθηράμενος, ὁ ἀπαθείας, ἐν τῷ ὕψει γενόμενος, καὶ τῆς χάριτος, θησαυρίσας τὴν ἔλλαμψιν· ζήλῳ ὁ τὰ διδάγματα, κηρύξας τῆς πίστεως, καὶ χρηματίσας ἀνθρώποις, ἠθῶν ἁγίων διδάσκαλος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ καθαγνίσας σαυτόν, τοῖς ἐν ἀσκήσει ὑπερμέτροις ἀγῶσί σου, καὶ σκεῦος τῆς ἐπιπνοίας, ἀναδειχθεὶς τοῦ Θεοῦ, θεοφόρε Πάτερ Ἀμφιλόχιε· Σταυρὸν ὁ ἀράμενος, τοῦ Σωτῆρος ἐπ᾽ ὤμων σου, καὶ διαθλήσας, συνεργίᾳ τοῦ Πνεύματος, συνειδήσεως, ἐπὶ γῆς τὸ μαρτύριον· στέφανον ὁ δεξάμενος, θεόθεν ἀμάραντον, καὶ ἐν ὑψίστοις τῆς δόξης, τῶν ἐκλεκτῶν ἀξιούμενος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Χαίροις τῆς νήσου Πάτμου βλαστός, τοῦ Θεολόγου τῆς Μονῆς ἄνθος εὔοσμον, καὶ Μάνδρας Ἠγαπημένου, τῆς Παναγίας Μητρός, ὁ κλεινὸς δομήτωρ καὶ ὑπέρμαχος· σοφὲ Ἀμφιλόχιε, εὐσεβῶν ἡ παράκλησις, ὁ πλείστους τόπους, διαμείψας ὡς Ἄγγελος, τὴν μετάνοιαν, ἱερῶς ὑφηγούμενος· λόγων σου παραινέσεσι, καὶ βίου χρηστότητι, τοὺς ἐν ἀγνοίᾳ τελοῦντας, καθοδηγήσας πρὸς Κύριον. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος β'.

Α᾿σκητικῶς ἀπὸ παιδός, τὸν σταυρόν σου ἀράμενος, τὸν νόμον ἐπλήρωσας, τοῦ νομοθέτου σου Χριστοῦ, Ἀμφιλόχιε μακάριε· ἔξω γὰρ κόσμου καὶ σαρκός, ἀγγελικῶς βιώσας, τῆς Εἰκόνος τὸ κάλλος, ἀκηλίδωτον διετήρησας, καὶ εἰς τὸ καθ᾿ ὁμοίωσιν, ὡς δυνατὸν ἀνελήλυθας· διὸ τῆς πολιτείας σου τὸ φῶς, τῶν ἀνθρώπων ἐνώπιον ἔλαμψε, τὰς τρίβους πάντων φωτίζον, πρὸς ἀρετῶν τελειότητα. Ἀλλ᾿ ὡς ἐν οὐρανοῖς, τῇ Ἁγίᾳ Τριάδι παριστάμενος, πρέσβευε ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ω῏ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, ὃν ὡς βρέφος Πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Μητρὸς Ἠγαπημένου, Μονῆς τὸν καθηγέτην, τὸν ἀγγελικῶς ἐν τῇ Πάτμῳ, τὸν βίον μετελθόντα, ἀρτίως τὸν λάμψαντα ἡμῖν, ὡς πάμφωτον φωστῆρα ἀρετῆς, Ἀμφιλόχιον τὸν Ὅσιον εὐσεβῶς, τιμήσωμεν ἐκβοῶντες· Δόξα τῷ σὲ ἐκλέξαντι Χριστῷ, δόξα τῷ σὲ ἀναδείξαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος πλ. δ'. Ταῖς τῶν δακρύων σου.

Α᾽σκητικαῖς σου ἀρεταῖς, Παρακλήτου τὴν χάριν ὑποδεξάμενος, τῶν Μοναζόντων ὁδηγός, καὶ εὐσεβῶν διδάσκαλος ἐχρημάτισας, καὶ ὤφθης ἀκριβής, τῆς ἐν Χριστῷ ζωῆς ὑποτύπωσις, Ἀμφιλόχιε Πατὴρ ἡμῶν Ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.
Ἦχος α′. Τὸν τάφον σου.

Συνέλθωμεν πιστοί, εὐσεβῶς ἐκτελοῦντες, ἐν ὕμνοις καὶ ᾠδαῖς, τοῦ Ὁσίου τὴν μνήμην, καὶ πάντες μετὰ πίστεως, πρὸς αὐτὸν ἀνακράξωμεν· Ἀμφιλόχιε, θεομακάριστε Πάτερ, τὸν Φιλάνθρωπον, καθικετεύων μὴ παύσῃ, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Ὅμοιον.

Ε᾽κ βρέφους τὸν Θεόν, ὁλικῶς ἀγαπήσας, εὐάρεστον αὐτῷ, ἐπετέλεσας βίον, καὶ ὤφθης τῆς λαμπρότητος, τῶν Ἁγίων συμμέτοχος. Ὅθεν πρέσβευε, ὑπὲρ ἡμῶν παῤῥησίᾳ, ἵνα λάβωμεν, παραπτωμάτων τὴν λύσιν, σοφὲ Ἀμφιλόχιε.

Καὶ νῦν. Θεοτοκίον.

Κυήσασα φρικτῶς, τῆς Τριάδος τὸν ἕνα, αἱμάτων ἐξ ἁγνῶν, ἐπ᾽ ἐσχάτων τῶν χρόνων, τῆς Εὔας τῆς προμήτορος, τὴν κατάραν ἠφάνισας, καὶ ἀνέτειλας, τὴν σωτηρίαν τῷ κόσμῳ· διὸ πάντες σοι, εὐχαριστίας Παρθένε, προσᾴδομεν ᾄσματα.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Τοῦ βίου τὴν ἔρημον, ἀσκητικῶς διελθών, εἰς χώραν κατέφθασας, τῆς ἀθανάτου ζωῆς, σοφὲ Ἀμφιλόχιε· σὺ γὰρ καταφρονήσας, τῶν ἐν κόσμῳ πραγμάτων, ἔζησας ἐναρέτως, τοῦ Δεσπότου τῷ πόθῳ· ᾧ πρέσβευε σωθῆναι ἡμᾶς, τοὺς πίστει τιμῶντάς σε.

Δόξα. Ὅμοιον.

Ταῖς θείαις ἐλλάμψεσι, τοῦ ἀπροσίτου φωτός, τὸν νοῦν ἐλλαμπόμενος, ὡς τῇ ψυχῇ καθαρός, σοφὲ Ἀμφιλόχιε, αἴγλῃ τῶν διδαχῶν σου, ὡς ἀστὴρ ἐν τῷ κόσμῳ, ἔλαμψας καταυγάζων, γηγενῶν τὰς καρδίας· διὸ τὸν φωτισμὸν ταῖς ψυχαῖς, ἡμῶν αἴτει Ὅσιε.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ῥάβδος ἡ ἔντιμος, ἡ τῆς ζωῆς ἀληθῶς, τὸ ξύλον βλαστήσασα, τοῖς ἐξ Ἀδὰμ χοϊκοῖς, Χριστὸν τὸν φιλάνθρωπον, πάσας τὰς ψυχοφθόρους, τῶν παθῶν ἐκβλαστήσεις, ξήρανον Θεοτόκε, τῆς ἡμῶν διανοίας, ἵνα σε γηθοσύνως, Ἁγνή, ἀεὶ μακαρίζομεν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ′. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐπακούσας ῥημάτων τῶν θεϊκῶν, τὸν σταυρόν σου ἐπ᾽ ὤμων ἀναλαβών, τῷ κόσμῳ ἐσταύρωσας, σεαυτὸν καὶ τοῖς πάθεσι, καὶ πλήρης χαρισμάτων, ἐνθέων γενόμενος, πατὴρ τῶν Μοναζόντων, ἐδείχθης φιλόστοργος. Ὅθεν αἱ χορεῖαι, τῶν πιστῶν ὁμοφρόνως, σοφὲ Ἀμφιλόχιε, τὴν πανεύσημον μνήμην σου, ἐκτελοῦμεν κραυγάζοντες· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, καὶ ψυχῶν σωτηρίαν, ἡμῖν τοῖς τιμῶσί σε.

Δόξα. Ὅμοιον.

Παρακλήτου τῇ αἴγλῃ καταλαμφθείς, Ἀποστόλων τῷ ζήλῳ κατατρωθείς, τῷ κόσμῳ ἐκήρυξας, σωτηρίας τὰ ῥήματα, καὶ λόγων ἐν σοφίᾳ, πολλοὺς καθοδήγησας, ἐπὶ ὁδὸν εὐθεῖαν, Θεοῦ τοῦ θελήματος. Ὅθεν ὡς ποιήσας, καὶ διδάξας ὁσίως, σοφὲ Ἀμφιλόχιε, οὐρανόθεν ἀπέλαβες τῶν καμάτων τὰ ἔπαθλα. Πρέσβευε οὖν, Πάτερ, Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Ὅμοιον.

Τὸν ὑπέρθεον Λόγον, τὸν τοῦ Πατρός, διὰ πλῆθος ἐλέους, ἄνευ σπορᾶς, σαρκὶ Θεονύμφευτε, ὑπὲρ λόγον κυήσασα, Προμήτορος τὴν πάλαι, κατάραν ἠφάνισας, καὶ κόσμῳ εὐλογίας, τὸ ἔαρ ἀνέτειλας. Ὅθεν σωτηρίας, ὡς οὐράνιον πύλην, ἀεί σε δοξάζομεν, Θεοτόκε Πανύμνητε, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πίστει, τῇ σκέπῃ σου, Δέσποινα.

Εἶτα οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α′ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Εὐαγγέλιον, ζήτει τῇ ε′ Δεκεμβρίου.

Ὁ Ν′. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β′.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Σήμερον ἡ χάρις τοῦ Παρακλήτου, ἐπὶ τοῦ Ὁσίου τῇ μνήμῃ, ἡμᾶς συνήγαγε, καὶ πάντες χαίροντες, ὡς ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς, εὐφραινόμενοι κράζομεν· Μακάριος εἶ, Πάτερ Ἀμφιλόχιε, ὁ τοὺς χαρακτῆρας τῶν ἀρετῶν, εὐσεβείας χρώμασι δι᾽ ἀσκήσεως, σεαυτῷ ἀληθῶς ἐμμορφώσας, καὶ τοῦ Θεοῦ κατ᾽ εἰκόνα, τὴν ψυχήν σου δείξας μακάριε. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, αὐτὸν δυσώπει ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου ...

Εἶτα, ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν, εἰς στ′, καὶ οἱ Κανόνες τοῦ Ὁσίου, εἰς η′. Κανὼν τῆς Θεοτόκου, οὗ ἡ Ἀκροστιχίς· «Χαῖρε Μαρία θεοδέγμον Παρθένε Κυρίλ(λο)υ».

Ὠιδὴ α′. Ἦχος α′. Ὁ Εἱρμός.

Ω᾽δὴν ἐπινίκιον, ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν ᾽Ισραήλ, ὅτι δεδόξασται.

Τροπάρια.

Χορείαν στησώμεθα, τὴν Θεοτόκον, πιστοὶ μακαρίζοντες, καὶ ἐκβοήσωμεν· Παρθένε χαῖρε Ἁγνή, ἡ σώσασα τοὺς γηγενεῖς, τῷ θείῳ τόκῳ σου.

Α᾿δὰμ ἐπανόρθωσις, χαῖρε Παρθένε· τῆς Εὔας ἡ λύτρωσις, χαῖρε Θεόνυμφε· ἡ πτῶσις χαῖρε Σεμνή, λοχείᾳ σου τῇ ὑπὲρ νοῦν, τοῦ πολεμήτορος.

Ι᾿σχὺς καὶ ὀχύρωμα, χαῖρε ἀνθρώπων· πασχόντων βοήθεια, χαῖρε Θεόνυμφε· ἐλπὶς τῶν ἁμαρτωλῶν, πταιόντων τε ὁ ἱλασμός, χαῖρε Πανάμωμε.

Ρ῾οῆς θείας χάριτος, χαῖρε ἡ βρύσις, τὴν κτίσιν ἀρδεύσασα, Θεογεννήτρια· πηγὴ ἡ ζωαρχική, τῆς κρείττονος χαῖρε χαρᾶς, Κόρη Ἀπείρανδρε.

Κανὼν πρῶτος τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχὶς κατ᾿ Ἀλφάβητον ἀντιστρόφως· ἐν δὲ τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Ω᾿δὴν δεῦτε ᾄσωμεν, Ἀμφιλοχίῳ, τῷ θείῳ φιλέορτοι, ὅτι ὡς Ἄγγελος, ἐβίωσεν ἐπὶ γῆς, καὶ ἔτυχεν ἐν οὐρανοῖς, Ἀγγέλων χάριτος.

Ψαλμοῖς Ἀμφιλόχιε, γεραίρομέν σε· Χριστὸν γὰρ ἠγάπησας, ἀπὸ νεότητος, καὶ ἄθλοις ἀσκητικοῖς, ἐδόξασας ἐπὶ τῆς γῆς, αὐτοῦ τὸ ὄνομα.

Χαρᾶς, Ἀμφιλόχιε, ἐπουρανίου, Θεός σε ἠξίωσε· σὺ γὰρ ἐνέκρωσας, τὸ φρόνημα τῆς σαρκός, παλαίσμασι ἀσκητικοῖς, ὡς καρτερόψυχος.

Θεοτοκίον.

Κυρία τῆς κτίσεως, Εὐλογημένη, Θεόνυμφε Δέσποινα, ἐκτενῶς πρέσβευε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, τοῦ σώζεσθαι ἐκ πειρασμῶν, τοὺς ὑμνολόγους σου.

Κανὼν δεύτερος τοῦ Ὁσίου φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις τήνδε· «Κυρίλλου».

Ἦχος δ΄. ᾿Ανοίξω τὸ στόμα μου.

Τριὰς ὑπερούσιε, τὴν σκοτισθεῖσαν τοῖς πάθεσι, καρδίαν μου φώτισον, ὅπως ὑμνήσω καλῶς, Ἀμφιλόχιον, τῆς Πάτμου τὸν φωστῆρα, Ὁσίων τῶν πρόπαλαι, τὸν ἰσοστάσιον.

Θεράπων ὁ κράτιστος, τοῦ Βασιλέως τῆς κτίσεως, τὸ σκεῦος τῆς χάριτος, τῶν ἀρετῶν ὁ κανών, Ἀμφιλόχιος, ὁ θεῖος ἀνυμνείσθω, ὡς νέον τῆς πίστεως, γέρας καὶ καύχημα.

Κυρίου τὸν ἔρωτα, ἐν τῇ καρδίᾳ δεξάμενος, τὸν κόσμον κατέλιπες, καὶ τὰ ἐν κόσμῳ τερπνά, Ἀμφιλόχιε, καὶ οὐρανοπολίτης, ἐγένου ἀσκήσεως, τοῖς κατορθώμασιν.

Θεοτοκίον.

Κυήσασα Δέσποινα, καὶ μητρικῶς περιστείλασα, ὡς βρέφος παντέλειον, τὸν Λυτρωτὴν τοῦ παντός, τοῦ πλουσίου σου, ἀξίωσον ἐλέους, τοὺς ἀνακηρύττοντας, τὰ μεγαλεῖά σου.

Τῆς Θεοτόκου. Ὠιδὴ γ'. Ὁ Εἱρμός.

Λίθον ὃν ἀπεδοκίμασαν, οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη, εἰς κεφαλὴν γωνίας· αὐτός ἐστιν ἡ πέτρα, ἐν ᾗ ἐστερέωσε, τὴν Ἐκκλησίαν ὁ Χριστός, ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

Τροπάρια.

Ε῎μψυχος λειμὼν Θεόνυμε, χαῖρε σωτηρίας· χαῖρε τὸ δοχεῖον, τῆς Παντουργοῦ Τριάδος· παλάτιον τοῦ Λόγου, ῾Αγνὴ ἱερότευκτον, χαῖρε καὶ σκεῦος δωρεῶν, τῶν ὑπὲρ νοῦν εὐρυχωρότατον.

Μῆλον χαῖρε εὐωδέστατον, ἐν δρυμοῦ τοῖς ξύλοις, Μῆτερ ἐξανθῆσαν, εἰς εὐωδίαν κόσμου· λαβὶς χαῖρε Μαρία, τὸν ἄνθρακα φέρουσα, Χριστὸν τὸν Κύριον ἡμῶν, τὸν τὴν κατάραν πυρπολήσαντα.

Α῎νθος χαῖρε παρθενόφυτον, τῆς ἀθανασίας, αὔχημα τοῦ κόσμου, ὑπερηγλαϊσμένον· ἁγνείας χαῖρε κάλλος, Παρθένε ἐράσμιον· χαῖρε ἡ μόνη καθαρά, τῆς καθαρότητος κειμήλιον.

Ρ῾άβδος χαῖρε ἁγιόβλαστος, ἐξ ἐπαγγελίας, ἄνθος τὸν Δεσπότην, βλαστήσασα τοῦ κόσμου· τὸ κεκαλλωπισμένον, τῆς δόξης ἀνάκτορον, χαῖρε Μαρία Ἀγαθή, ἐν ᾧ κατῴκησεν ὁ ῞Υψιστος.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Φεύγων, Πάτερ Ἀμφιλόχιε, κόσμου τὴν ἀπάτην, ἔδραμες ὀπίσω, τοῦ Λυτρωτοῦ σπουδαίως, νηστείαις, ἀγρυπνίαις, ἀπαύστοις δεήσεσι, ἐξομαλίζων ἑαυτῷ, τρίβον ἀρίστην τελειότητος.

Υ῞μνοις, Πάτερ Ἀμφιλόχιε, μακαρίζομέν σε· σὺ γὰρ τῆς ἀγάπης, δεξάμενος τὸ δῶρον, πατὴρ τῶν Μοναζόντων, ἐδείχθης φιλόστοργος, καὶ ποδηγέτης τῶν πιστῶν, πρὸς ἀρετῆς θείαν ἐπίδοσιν.

Τόξον, Πάτερ Ἀμφιλόχιε, τὴν εὐχὴν κατέχων, φάλαγγας δαιμόνων, ἐξέτρεψας τελείως, καὶ ἐν νικηφορίαις, τῶν ἔργων τῆς πίστεως, μέγας εὑρέθης ἐπὶ γῆς· διὸ Χριστός σε ἐστεφάνωσεν.

Θεοτοκίον.

Ὕμνοις Δέσποινα Μητράνανδρε, μακαρίζομέν σε, ὅτι τὸν Δεσπότην, ὑπερφυῶς τεκοῦσα, ἐλύτρωσας τὸν κόσμον, ἀρᾶς τοῦ Προπάτορος, καὶ εὐλογίας θεϊκῆς, πᾶσιν ἡμῖν ἐγένου πρόξενος.

Δεύτερος. Τοὺς σοὺς ὑμνολόγους.

Χριστὸν παιδιόθεν ἀγαπήσας, κατ᾽ ἴχνος ἐβάδισας αὐτοῦ, Ὅσιε Ἀμφιλόχιε, καὶ ἀρετῶν ἐξήνεγκας, εἰς ἑκατὸν τὰ δράγματα, τῇ γεωργίᾳ τοῦ κρείττονος.

Ἀγῶσιν ὁσίοις καθαγνίσας, τὸν νοῦν Ἀμφιλόχιε σοφέ, ἐδέξω τὰ χαρίσματα, τοῦ Παρακλήτου Πνεύματος, καὶ φῶς ἀνθρώποις γέγονας, Χριστὸς ὡς ἔφη ὁ Κύριος.

Ζηλώσας τοῦ θείου Χριστοδούλου, τὸν βίον πανσόφως ἐκ παιδός, αὐτοῦ ἐδείχθης ἔκγονον, ἀσκήσει τιμιώτατον, θεόφρον Ἀμφιλόχιε, Θεοῦ εἰς δόξαν καὶ αἴνεσιν.

Θεοτοκίον.

Ὑπέραγνε Μῆτερ τοῦ Ὑψίστου, ἐκ σοῦ ὁ φιλάνθρωπος Θεός, ἐνανθρωπήσας ἔσωσε, τῆς πάλαι παραβάσεως, τοὺς εὐσεβῶς τῇ δόξῃ σου, κροτοῦντας ὕμνον ἁρμόδιον.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀμφιλόχιον δεῦτε, πιστοὶ τιμήσωμεν, τὸν ἐν ἐσχάταις ἡμέραις, ἀσκητικῇ βιοτῇ, ἀρετῶν ἐν τῷ φωτὶ περιπατήσαντα, καὶ ὁδηγήσαντα πολλούς, σωτηρίας πρὸς ὁδόν, ἐν λόγῳ πεφωτισμένῳ· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ὅμοιον.

Ἀρετῶν ταῖς ἰδέαις, κατακοσμούμενος, ὡς Ἱερεὺς θεοφόρος, ἐπὶ τῆς γῆς εὐσεβῶς, ἐλειτούργησας Θεῷ καθάπερ Ἄγγελος, καὶ ὡς θυσίαν καθαράν,

Ἀμφιλόχιε αὐτῷ, προσήνεγκας τὴν ζωήν σου· ὃν καὶ ἀπαύστως δυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ω῞σπερ πύρινος θρόνος, ἐν ταῖς ἀγκάλαις σου, ταῖς παναγίαις βαστάζεις, τὸν Βασιλέα Χριστόν, τὸν βαστάζοντα Ἁγνή, τὰ πάντα ῥήματι· ὃν ἐκδυσώπει ἐκτενῶς, ὡς Υἱόν σου καὶ Θεόν, ἐν μητρικῇ παῤῥησίᾳ, Πανάχραντε Θεοτόκε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῆς Θεοτόκου. Ὠιδὴ δ΄. Ὁ Εἱρμός.

Ε᾿ν Πνεύματι προβλέπων, Προφῆτα Ἀββακούμ, τὴν τοῦ Λόγου σάρκωσιν, ἐκήρυττες βοῶν· Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ· Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια.

Ι῾άσεως ὠδίνων, τῆς Εὔας ἀπαρχή, Ἁγνὴ χαῖρε Δέσποινα, Μαρία Ἀγαθή· κεκληρωμένη Παρθένος εἰς κατοικίαν, τοῦ σαρκωθέντος δι᾿ ἡμᾶς ἀκαταλήπτως, χαῖρε Θεομῆτορ Ἀπείρανδρε.

Α᾿μνὰς χαῖρε Παρθένε, Ποιμένος τοῦ καλοῦ, χελιδὼν ἡ εὔλαλος, τοῦ ἔαρος Χριστοῦ· ἡ πολυσύμβολος χαῖρε πάντων Κυρία· ἡ βρεφοτρόφος καὶ ἁγνεύουσα Παρθένος, χαῖρε Πολυΰμνητε Ἄχραντε.

Θεοῦ χαῖρε ἡ Μήτηρ, αὐτῷ ἡ ποθητή, θησαυρὸς ἀσύλητος, τῶν ἄνω δωρεῶν· ἡ ἐπιφέρουσα χαῖρε τὸν Βασιλέα, καὶ μυστηρίου διαλάμπουσα τῷ κάλλει· χαῖρε ἀπερίληπτον θέαμα.

Ε᾿ξάλειπτρον τῆς λύπης, αἰτία χαρμονῆς, ἐπίγειος τράπεζα, τοῦ Λόγου τῆς ζωῆς, χαῖρε Παντάνασσα Μῆτερ Εὐλογημένη· ἡ διαλλάκτης χαῖρε πάντων τῶν ἀνθρώπων, πρὸς τὸν σαρκωθέντα ἐν σπλάγχνοις σου.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Σαρκὸς καταφρονήσας, ἀγάπῃ τοῦ Θεοῦ, ἐνεκρώθης πάθεσιν, ἀσκήσει κραταιᾷ, καὶ κληρονόμος ἐγένου ἡγιασμένος, τοῦ σταυρωθέντος δι᾿ ἡμᾶς καὶ ἀναστάντος, Πάτερ Ἀμφιλόχιε Ὅσιε.

Ρ῾ημάτων ἐπακούσας, προθύμως τῆς ζωῆς, ἐκ παιδὸς τὴν ἔφεσιν, ἀνέτεινας Χριστῷ, καὶ τῶν ἡδέων τοῦ κόσμου καταφρονήσας, τῶν οὐρανίων ἀγαθῶν τὸν μαργαρίτην, εὗρες, Ἀμφιλόχιε Ὅσιε.

Πατέρων ὡς ζηλώσας, τῶν πάλαι τὴν ζωήν, ἐν ὑστέροις ἔτεσιν, ἰσότιμος αὐτῶν, τῆς εὐκληρίας ἐδείχθης καὶ εὐφροσύνης, ἐν Παραδείσῳ τῆς τρυφῆς κατασκηνώσας, Πάτερ Ἀμφιλόχιε ἔνδοξε.

Θεοτοκίον.

Ρ῾ημάτων ἱκεσίας, ἐπάκουσον ἡμῶν, ἀγαθὴ ὡς πέλουσα, καὶ πρόφθασον ταχύ, ταῖς μητρικαῖς σου πρεσβείαις σώζουσα πάντας, ἐκ νοσημάτων καὶ δεινῶν πειρατηρίων, Μῆτερ τοῦ Παντάνακτος Ἄχραντε.

Δεύτερος. Τὴν ἀνεξιχνίαστον.

Βίον ἐνθεώτατον δι᾽ ἀρετῆς, ἔχων ἀληθῶς, Ἀμφιλόχιε, ἱερωσύνης, ἐκοσμήθης δωρεᾷ, καὶ ἐπὶ γῆς ὡς Ἄγγελος, τῷ Παμβασιλεῖ ἱεράτευσας.

Ζήλῳ ἐμφορούμενος θεουργικῷ, Πάτερ ἱερὲ Ἀμφιλόχιε, τῆς μετανοίας, ὡς ὁ Πρόδρομος Χριστοῦ, τὸν λόγον ἀνεκήρυξας, εἰς πολλῶν ψυχῶν περιποίησιν.

Νέον σε ἐκτήσατο νυμφαγωγόν, χάριτι Θεοῦ, καὶ διδάσκαλον, ἡ Ἐκκλησία, Ἀμφιλόχιε σοφέ· σὺ γὰρ καλῶς ἐποίησας, καὶ ἐν ταπεινώσει ἐδίδαξας.

Θεοτοκίον.

Ρ῾ῦσαί με Πανάχραντε ὡς εὐμενής, πάσης δυσχεροῦς περιστάσεως, καὶ τῇ δυνάμει, τῶν καλῶν σου πρεσβειῶν, ἐνίσχυσον διάγειν με, ἐν δικαιοσύνῃ τὸν βίον μου.

Τῆς Θεοτόκου. Ὠιδὴ ε′. Ὁ Εἱρμός.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ· ἄλλον γὰρ ἐκτός σου, Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομάζομεν, ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Τροπάρια.

Ο῾δὸς εἰρήνης καὶ ζωῆς, τρυφῆς μυστικῆς, γνώσεως ἐνθέου, σοφίας συνέσεως, Παρθένε χαῖρε θεοείκελε· χαῖρε μυροθήκη, παντοίας ἰατρείας.

Διόπτρα χαῖρε Προφητῶν, Ἁγνὴ διαυγής· χαῖρε Ἀποστόλων, Ὁσίων τὸ καύχημα· Μαρτύρων χαῖρε ἀγαλλίαμα, κλέος Ἱερέων, Ὑπερευλογημένη.

Ε᾿λαία χαῖρε εὐθαλής, Θεοῦ δωρεᾶς· χαῖρε εὐφροσύνης, θυμίαμα εὔοσμον· ὁ οἶνος χαῖρε ὁ γλυκύτατος, δι᾿ οὗ ἐμεθύσθη, τὸ γένος τῶν ἀνθρώπων.

Γαλήνη χαῖρε νοητή, τοῦ γένους ἡμῶν, δι᾿ ἧς ἁμαρτίας, ἐῤῥύσθημεν κλύδωνος· Μαρία χαῖρε ἡ βυθίσασα, νομικὴν κατάραν, Θεοῦ τῇ εὐσπλαγχνίᾳ.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ο᾿μβρίζεις χάριν δαψιλῶς, ἐκ θήκης τῆς σῆς· σὲ γὰρ ὁ Δεσπότης, δοξάζει τῆς κτίσεως, θεόφρον Πάτερ Ἀμφιλόχιε, ὡς ἡγιασμένον, φανέντα ἐν ἐσχάτοις.

Ξενώσας ὅλον ἑαυτόν, τῆς γῆς τῶν φθαρτῶν, οἰκεῖος ἐγένου, δι᾿ ἔργων τῆς πίστεως, Χριστῷ παμμάκαρ Ἀμφιλόχιε, καὶ αὐτῷ συνήφθης, τῶν τῇδε ἀναλύσας.

Νικήσας στίφη ἀνδρικῶς, ἀσάρκων ἐχθρῶν, ὅπλοις ἐγκρατείας, σοφὲ Ἀμφιλόχιε, θεόθεν ἔλαβες τὸν στέφανον, τῆς δικαιοσύνης, καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ι᾿δοὺ συμφώνως οἱ πιστοί, ἐκ πόθου ψυχῆς, φέρομέν σοι ὕμνον, Παρθένε δεόμενοι· Πρόφθασον, Μῆτερ, ὡς φιλεύσπλαγχνος, ἡμᾶς ῥυομένη, κινδύνων ἐκ παντοίων.

Δεύτερος. Ἐξέστη τὰ σύμπαντα.

Ε᾿κλόγιον χάριτος, ἀρτίως ἀναδέδειξαι, εὐαγγελικῇ σου πολιτείᾳ, καὶ ἐν τῇ πέτρᾳ, Χριστοῦ τῆς πίστεως, ἀνθρώπων ἐστήριξας ψυχάς, Πάτερ Ἀμφιλόχιε, θεοπνεύστοις λογίοις σου.

Φερόμενος Πνεύματι, θεόφρον Ἀμφιλόχιε, διήμειψας πλείστας θεοφρόνως, πόλεις καὶ νήσους, τοῦ ζωοδότου Χριστοῦ, εὐαγγελιζόμενος τρανῶς, ἄλλος ὡς Ἀπόστολος, τὰ σωτήρια ῥήματα.

Ε᾿ν Ῥόδῳ γενόμενος, πλειστάκις Ἀμφιλόχιε, ἐν ταύτῃ ἐτράνωσας τὸν λόγον, τῆς εὐσεβείας, ταῖς νουθεσίαις σου, ἥτις ὡς θεράποντα Θεοῦ, θεῖον μακαρίζει σε, ἐν τῇ μνήμῃ σου χαίρουσα.

Θεοτοκίον.

Ἰδού σοι προστρέχομεν, ἐν κατανύξει Ἄχραντε, τὸν θεῖόν σου τόκον προσκυνοῦντες, καὶ κράζομέν σοι, ἱκετηρίῳ φωνῇ· Ἔσο ἡμῶν πάντοτε Ἁγνή, βίου ἐν ταῖς θλίψεσι, στηριγμὸς καὶ παράκλησις.

Τῆς Θεοτόκου. Ὠιδὴ στʹ. Ὁ Εἱρμός.

Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ· Τὴν ζωήν μου ἀγαθέ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, Σωτὴρ τοῦ κόσμου, κράζοντα· Δόξα σοι.

Τροπάρια.

Μήτηρ χαῖρε ἀληθής, τοῦ Σωτῆρος καὶ Θεοῦ· χαῖρε πέτρα τιμαλφής, μαργαρίτου τῆς ζωῆς· ἡ εἴσοδος, πρὸς ἀφθαρσίαν, χαῖρε Πανύμνητε.

Οἶκος πλήρης θεϊκῆς, δόξης χαῖρε Μαριάμ· χαῖρε σφράγισμα Χριστοῦ, Διαθήκης τῆς καινῆς· τὸ ἄμωμον, τῆς σωφροσύνης, χαῖρε ὀσφράδιον.

Νόμου ἔμψυχον φυτόν, χαῖρε Μῆτερ καὶ καρπός· χαῖρε θρόνος τοῦ Θεοῦ, ἐπηρμένος ὑψηλός· Θεότητος, χαῖρε τοῦ πλούτου, ταμεῖον ἄσυλον.

Πρόξενος ἁγιασμοῦ, χαῖρε πᾶσι τοῖς βροτοῖς· χαῖρε πύλη μυστική, Παραδείσου τῆς τρυφῆς· ἡ ἕνωσις, τῶν διεστώτων, χαῖρε Μητράνανδρε.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Μετανοίας πρὸς τὸ φῶς, ἐκ σκοτίας τῶν παθῶν, καθωδήγησας πολλούς, καὶ τὸ φρόνημα αὐτῶν, ἐῤῥύθμισας, Ὅσιε Πάτερ, ταῖς νουθεσίαις σου.

Λογισάμενος τῆς γῆς, ὄναρ εἶναι τὰ τερπνά, κατεφρόνησας σαφῶς, Ἀμφιλόχιε αὐτῶν, καὶ ἔκτεινας, σαρκὸς τὰ πάθη, τῇ ἐγκρατείᾳ σου.

Καθαγνίσας ἑαυτόν, δι᾽ ἀγώνων ἱερῶν, συνεκρότησας Μονήν, τῇ Πανάγνῳ Μαριάμ, ἣν στήριζε, ἐπὶ τὴν πέτραν, Πάτερ, τῆς πίστεως.

Θεοτοκίον.

Λάμπρυνόν μου τὴν ψυχήν, Θεονύμφευτε Ἁγνή, ἀποῤῥήτως ἡ τὸ φῶς, ἀνατείλασα Χριστόν, καὶ σῶσόν με, ὑμνολογοῦντα, τὰ μεγαλεῖά σου.

Δεύτερος. Τὴν θείαν ταύτην.

Α᾿ρότρῳ Πάτερ τῆς χάριτος, καρδίας προσκειμένας τὸ πρότερον, τῇ ματαιότητι, θεουργικῶς ἐγεώργησας, καὶ ταύτας καρποφόρους, Θεῷ ἀνέδειξας.

Η῾ Κρήτη χαίρει τῇ δόξῃ σου, τιμῶσά σε πιστῶς Ἀμφιλόχιε, ὅτι ἀπήλαυσε, τῆς θαυμαστῆς παρουσίας σου, καὶ τῆς πνευματεμφόρου, διδασκαλίας σου.

Α᾿κτῖσι θείαις τῶν λόγων σου, κατηύγασας σοφὲ Ἀμφιλόχιε, τὴν Δωδεκάνησον, ἣν ὡς πατρίδα σου στήριζε, ἐν πίστεως τῇ πέτρᾳ, ἀπαρασάλευτον.

Θεοτοκίον.

Λαμπὰς Παρθένε ὑπάρχουσα, φωτὸς τοῦ ἀνεσπέρου τῆς γνώσεως, τῇ φωταυγείᾳ σου, ἐσκοτισμένην τοῖς πάθεσι, τὴν ταπεινὴν ψυχήν μου, φώτισον Ἄχραντε.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ε᾿κ τῆς Πάτμου ἔλαμψας, ὡς ἑωσφόρος, καὶ αὐγάζεις ἅπασαν, τὴν Ἐκκλησίαν ἀστραπαῖς, τῆς δεδομένης σοι χάριτος, Ὅσιε Πάτερ, σοφὲ Ἀμφιλόχιε.

Ὁ Οἶκος.

Α᾿κολουθήσας τῷ Χριστῷ, ἐκ πρώτης ἡλικίας, καὶ ἀρετῶν ἐν τῷ φωτί, περιπατήσας ἀκλινῶς, ὡς τῶν Ὁσίων μιμητής, τῆς χάριτος τὰς δωρεάς, ἄνωθεν ὑπεδέξω, καὶ εὐσεβείας τὸν λόγον, τοῖς ἀνθρώποις ἐκήρυξας, πλείστας πόλεις καὶ νήσους περιελθών, ὡς ἄλλος Ἀπόστολος· πᾶσι γὰρ τὰ πάντα ἐγένου, ὡς Παῦλος ὁ τῶν Ἐθνῶν χριστοκῆρυξ, καὶ τὴν ἀγάπην ἐφύλαξας, ὡς τοῦ Θεοῦ ἐντολήν, ὡς ἔφη ὁ Ἠγαπημένος μαθητής· οὗ καὶ τῇ Ὑπεραγίᾳ Μητρί, Μονὴν ἱερὰν συνέστησας, ἐν ᾗ κειμένη ἡ θήκη σου, ἰαμάτων πηγάζει τὰ νάματα, τοῖς πιστῶς προσπελάζουσι, καὶ ὡς φωστῆρά σε νέον, τῆς Ἐκκλησίας γεραίρουσιν, Ὅσιε Πάτερ, σοφὲ Ἀμφιλόχιε.

Μηνολόγιον.

Τῇ ΙΣΤ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἀμφιλοχίου τοῦ ἐν Πάτμῳ.

Στίχοι.

Ἀμφιλόχιος ὡς ἀγάπης ταμεῖον,
Χριστῷ συνήφθη ἀναλύσας τῶν κάτω.
Ἀμφιλόχιος δεκάτῃ μετέστη καθ᾽ ἕκτην τῶν φθαρτῶν.

Συναξάριον.

Οὗτος ὁ μακάριος ἐγεννήθη ἐν Πάτμῳ ἐν ἔτει αωπθ′ (1889) ἐκ γονέων εὐσεβῶν, ὧν ἡ κλῆσις Ἐμμανουὴλ καὶ Μαρία, λαβὼν ἐν τῷ ἁγίῳ Βαπτίσματι τὸ ὄνομα Ἀθανάσιος. Ἀνατραφεὶς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, κατὰ τὸ ἀποστολικόν, καὶ εἰς μέτρον ἡλικίας φθάσας, ἐκάρη Μοναχὸς ἐν τῇ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου περιωνύμῳ ἐν Πάτμῳ Μονῇ, λαβὼν ἐν τῇ ἀποκάρσει τῶν τριχῶν τὸ ὄνομα Ἀμφιλόχιος. Χειροτονηθεὶς δὲ Διάκονος καὶ Πρεσβύτερος διηκόνησεν ὡς Ἐφημέριος ἐν τῷ Καθολικῷ τῆς ἐν Πάτμῳ Ἱερᾶς Μονῆς, ἐν τῷ ἱερῷ Ναῷ τῆς Παναγίας Διασωζούσης καὶ ἐν τῷ ἱερῷ Σπηλαίῳ τῆς Ἀποκαλύψεως, ἀργότερον δὲ ἐξελέγη Ἐκκλησιάρχης τῆς ὡς ἄνω σεβασμίας Μονῆς καὶ Καθηγούμενος αὐτῆς. Πλήρης δὲ τῶν χαρισμάτων τοῦ Πνεύματος διὰ τῶν ἀσκητικῶν ἀγωνισμάτων ἀναδειχθείς, ἐν πληροφορίᾳ χάριτος, θείαν ἀποστολὴν παρὰ Θεοῦ δεξάμενος, πολλὰς πορείας ἐποίησε καὶ πλείστας πόλεις καὶ νήσους διῆλθεν, ὡς ἄλλος Ἀπόστολος, κηρύττων τὸν λόγον τῆς πίστεως, μετάνοιαν ἐπαγγελλόμενος καὶ εὐαγγελιζόμενος τὸ σωτήριον τοῦ Θεοῦ. Πλείστοις οὖν πρόξενος ὠφελείας γεγονὼς καὶ τὴν Μονὴν τῆς Μητρὸς τοῦ Ἠγαπημένου ἐν Πάτμῳ συστησάμενος, πλήρης ἡμερῶν ἐν Κυρίῳ ἀνεπαύσατο, τῇ ιστ′ τοῦ μηνὸς Ἀπριλίου τοῦ ἔτους 1970.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ἁγίων Μαρτύρων γυναικῶν, Ἀγάπης, Εἰρήνης καὶ Χιονίας.

Στίχοι.
Χιὼν τὸ πῦρ ἦν τῇ Χιονίᾳ τάχα,
Οὗ συμμετασχεῖν ἠγάπησεν Ἀγάπη.

Βέλος σε πέμπει πρὸς τὸν εἰρήνης τόπον,
Ἀφ᾽ αἱμάτων σῶν ἐκμεθυσθὲν Εἰρήνη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Φήλικος Ἐπισκόπου, Ἰανουαρίου Πρεσβυτέρου, Φουρτουνάτου καὶ Σεπτεμίνου.

Στίχοι.
Τετρὰς ἀθλητῶν συγκεκομμένων ξίφει,
Νῦν συγχορεύει μυριάσιν Ἀγγέλων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Λεωνίδου, Χαρίσσης, Νίκης, Γαληνῆς, Καλλίδος, Νουνεχίας, Βασιλίσσης καὶ Θεοδώρας.

Στίχοι.
Κόλποις θαλάσσης ἐκδοθεὶς Λεωνίδης,
Φθάνει κολυμβῶν Ἀβραὰμ κόλπων ἄχρι.

Θάλασσαν ἡ Χάρισσα φρίττειν οὐκ ἔχω,
Ἥτις θάλασσαν προξενεῖ μοι χαρίτων.

Βυθῷ Γαληνὴ καὶ Νίκη βεβλημέναι,
Νίκην ἐφεῦρον καὶ γαλήνην ἐκ σάλου.

Βυθὸς θαλάσσης λαμβάνει τὴν Καλλίδα,
Κάλλους ἐρῶσαν ψυχεραστοῦ Κυρίου.

Εὑροῦσα κέρδος ἐκ βυθοῦ σωτηρίαν,
Τὸ νουνεχές σου δεικνύεις, Νουνεχία.

Γαστὴρ θαλάσσης λαμβάνει κόρας δύο,
Λίχνην φυγούσας, δυσσεβείας γαστέρα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Εἰρήνης.

Στίχοι.
Εἰρηνικῶς ζήσασα, Μάρτυς Εἰρήνη,
Οὐκ εἰρηνικῶς, ἀλλ' ἐκ τοῦ ξίφους θνῄσκεις

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. ᾿Αμήν.

Τῆς Θεοτόκου. Ὠιδὴ ζ'. Ὁ Εἱρμός.

Η῾ κάμινος Σωτὴρ ἐδροσίζετο, οἱ Παῖδες δὲ χορεύοντες ἔψαλλον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάρια.

Α᾿λήθεια ἐκ γῆς ἀνατείλασα, καὶ ἅπασαν τὴν κτίσιν πληρώσασα, χαῖρε καὶ κάλλος ῾Αγνή, τῆς ἀρετῆς μυστικόν.

Ρ῾οαῖς χαῖρε ῾Αγνὴ καταρδεύουσα, τὰ σύμπαντα πολλῶν θαυμασίων σου· Μαρία χαῖρε ἡμῶν, ἡ ἀψευδὴς βοηθός.

Θεοῦ χαῖρε θυγάτηρ ὑπέρκαλλος, Πανάχραντε, καὶ νύμφη ἀνύμφευτος· τοῦ οὐρανοῦ καὶ τῆς γῆς, χαῖρε λαμπρὰ βασιλίς.

Εὐπρέπεια τοῦ γένους περίδοξος, ἐγκώμιον τῆς φύσεως μέγιστον, καὶ προσφορὰ λογική, χαῖρε ἀνθρώπων ῾Αγνή.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ι᾿δού σε εὐλαβῶς, Ἀμφιλόχιε, τιμῶμεν ἐκτελοῦντες τὴν μνήμην σου· σὺ γὰρ ἐδείχθης πιστός, δοῦλος καὶ φίλος Θεοῦ.

Θυσίαν ἑαυτόν, Ἀμφιλόχιε, τῷ Κτίστῃ τῇ ἀσκήσει ἐτέλεσας, καὶ συνεκράθης αὐτῷ, ἐν μετοχῇ θεωθείς.

Η῾ θήκη σου ἀεὶ τῶν ἰάσεων, πηγάζει, Ἀμφιλόχιε, νάματα, τοῖς προσιοῦσι πιστῶς, πρὸς θεραπείαν παθῶν.

Θεοτοκίον.

Λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσιν, ἐν βίου τῷ πελάγει Πανύμνητε· μὴ οὖν ἐάσῃς ἡμᾶς, καταποθῆναι Ἁγνή.

Δεύτερος. Οὐκ ἐλάτρευσαν.

Ε᾿κ χειλέων σου, ὡς ἐκ πηγῆς ἀνέβλυσας, ὕδωρ γλυκύτατον, τῆς ἐν Χριστῷ διδαχῆς, σοφὲ Ἀμφιλόχιε, ἐνθέῳ χάριτι, καὶ ἀνέψυξας, λαὸν ταλαιπωρούμενον, ἐν αὐχμῷ τῆς ἀγνωσίας.

Ε᾿λεήμονα, καρδίαν ὡς κτησάμενος, πτωχοῖς ἐπήρκεσας, ἐν συμπαθείᾳ πολλῇ, καὶ ἄλλοις τὰ πρόσφορα, διδοὺς ἐπλούτισας, Ἀμφιλόχιε, ζωῆς τῆς ὑπὲρ ἔννοιαν, θησαυροὺς τοὺς ἀσυλήτους.

Θεολόγου σε, Μονὴ ἡ περιώνυμος, γεραίρει Ὅσιε· σὺ γὰρ ἐγένου αὐτῆς, σοφὸς καθηγούμενος, προνοίᾳ κρείττονι· ὅθεν πάντοτε, αὐτῆς τῇ ἀντιλήψει σου, μὴ ἐλλίπῃς προστατεύων.

Θεοτοκίον.

Λῦσον Ἄχραντε, θερμῶς καθικετεύω σε, τὰς τῶν μεγίστων μου, παραπτωμάτων σειράς, καὶ δὸς οὐρανόφρονα, ἀνύειν βίον με, ὡς ἂν Δέσποινα, ἀξιωθῶ τῆς χάριτος, τοῦ ἐκ σοῦ σωματωθέντος.

Τῆς Θεοτόκου. Ὠιδὴ η΄. Ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι Στρατιαί, ὡς Κτίστην καὶ Κύριον, ὑμνεῖτε Ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Νυμφὼν χαῖρε ἔμψυχος, ἐν ᾧ ὁ Πλαστουργός, Ἁγνὴ ἐνυμφεύσατο, τὴν φύσιν τῶν βροτῶν· ἡ νέα τῆς δόξης, ἀληθῶς κιβωτός, χαῖρε τοῦ Κυρίου, Παντάνασσα Παρθένε.

Εἰκὼν εὐδιάγραπτος, τῆς χάριτος Σεμνή, κρατὴρ ἀγαλλίασιν, κιρνῶν τὴν νοητήν, νεφέλη ἁγία, καὶ σκηνὴ ἐκλεκτή, χαῖρε τοῦ ἀκτίστου, φωτὸς Θεοκυῆτορ.

Καινότατον ἄκουσμα, καινὴ γῆ καὶ οὐρανός, τερπνὸν καταγώγιον, καλῶν τε κἀγαθῶν, ὑπέρτιμος κόσμος, πάντα κόσμον κοσμῶν, χαῖρε μακαρία, Παρθένε Θεοτόκε.

Ὑπέρλαμπρον θέαμα, Ἀγγέλοις καὶ βροτοῖς, τερπνὸν μεγαλούργημα, προνοίας τοῦ Θεοῦ, ἀρχή τε καὶ τέλος, σωτηρίας βροτῶν, χαῖρε Θεομῆτορ, ὑπερδεδοξασμένη.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ζηλώσας ἐν χάριτι, Χριστοῦ τὸν Βαπτιστήν, ἐξομολογήσεως, λουτρῷ τῷ μυστικῷ, ἀπέπλυνας ῥύπου, θεομάκαρ, παθῶν, καρδίας ἀνθρώπων, τῶν σοὶ προσερχομένων.

Εὐθύνας θελήματι, ἁγίῳ τοῦ Θεοῦ, σοφὲ Ἀμφιλόχιε, τὸν βίον ἐκ παιδός, ἐν λόγῳ καὶ ἔργῳ, σεαυτὸν ἀληθῶς, παρέστησας τύπον, ὁσίας πολιτείας.

Δοχεῖον τοῦ Πνεύματος, τελέσας ἑαυτόν, σοφὲ Ἀμφιλόχιε, ἀλείπτης Μοναστῶν, πιστῶν ποδηγέτης, ὀρφανῶν τε πατήρ, καὶ ἀπεγνωσμένων, ἀντίληψις ἐφάνης.

Θεοτοκίον.

Ὁ Λόγος Πανάχραντε, ἐκ σοῦ σωματωθείς, θανάτου ἐῤῥύσατο, τὸ γένος τῶν βροτῶν· Αὐτὸν οὖν δυσώπει, μητρικοῖς οἰκτιρμοῖς, σωθῆναι Παρθένε, τοὺς σὲ ὑμνολογοῦντας.

Δεύτερος. Παῖδας εὐαγεῖς.

Ἔμψυχον ναὸν ἐπιτελέσας, τῆς Πνεύματος ἑαυτὸν πόνοις ἀσκήσεως, Ἰωσὴφ τῷ μνήστορι, ζήλῳ ᾠκοδόμησας, ναὸν ἐν ᾧ εὐχόμενος, Πάτερ, ἀνέμελπες· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φέγγος μυστικὸν εἰσδεδεγμένος, ἀσκήσει συντονωτάτῃ ἐν καρδίᾳ σου, Πάτερ Ἀμφιλόχιε, τῷ λαῷ τῆς χάριτος, τὸν φωτισμὸν ἀνέτειλας, τοῦ θείου Πνεύματος, καὶ ᾤκησας φωτὸς τοὺς θαλάμους, ἐν δικαιοσύνῃ, τῶν τῇδε ἀναλύσας.

Μάνδρα τῆς Μητρός σε μακαρίζει, τοῦ θείου Ἠγαπημένου Ἀμφιλόχιε, ἐκτελοῦσα ᾄσμασι, σήμερον τὴν μνήμην σου, καὶ γηθοσύνως κράζει σοι· Πάτερ φιλόστοργε, τῶν τέκνων σου φωνὰς μὴ παρίδῃς, τῶν ἀνακειμένων, τῇ σῇ κηδεμονίᾳ.

Θεοτοκίον.

Ὄμβροις μητρικῆς σου εὐσπλαγχνίας, Παρθένε Θεοκυῆτορ ἱκετεύω σε, σβέσον τῆς κακίας μου, τάχιον τοὺς ἄνθρακας, ἀναψυχὴν καὶ ἄνεσιν, τῷ παναθλίῳ σου, βραβεύουσα οἰκέτῃ Παρθένε, ᾄδοντί σοι ὕμνον, καρδίας ἐκ βαθέων.

Τῆς Θεοτόκου. Ὠιδὴ θ'. Ὁ Εἱρμός.

Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάντων Δεσπότης, ὡς ὑετὸς ἐξ οὐρανοῦ, ἐπὶ πόκον κατῆλθε, καὶ ἐσαρκώθη δι᾽ ἡμᾶς, γενόμενος ἄνθρωπος, τὴν Ἄχραντον μεγαλύνομεν πάντες, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Τροπάρια.

Ῥάβδος ἀκμάζουσα χαῖρε, ἀνθηφορήσασα κόσμῳ, τὴν σωτηρίαν Μαριάμ· σκηνὴ χαῖρε ἁγία, χωρητικὴ τῆς τῶν βροτῶν, οὐσίας Μητράνανδρε· πολύγονος ἀγαθῶν ἀφθονία, χαῖρε Μῆτερ τοῦ Θεοῦ ἡμῶν Ἁγνή.

Ἴαμα χαῖρε ἀνθρώπων· θεοϋφάντου τε χαῖρε, περιβολαίου ὁ ἱστός· Ἐδὲμ χαῖρε τοῦ νέου, Θεομακάριστε Ἀδάμ, αὐλή τε βασίλειος· ἀνάπαυλα τοῦ Μαρτύρων ἀγῶνος, χαῖρε Μῆτερ τοῦ Θεοῦ ἡμῶν Ἁγνή.

Λύσις δεσμῶν Κόρη χαῖρε, δι᾽ ἧς ἀνέσεως πάντες, κατηξιώθημεν πιστοί· λιμὴν χειμαζομένων, καταφυγὴ ἁμαρτωλῶν, Ἁγνὴ χαῖρε Δέσποινα· ἀνθρώπων τε ξηρανθείσης καρδίας, χαῖρε ὄντως θεοστάλακτος ῥανίς.

Υ῾μνολογίαις τιμῶμεν, σὲ τὴν τῶν πάντων Δεσπότην, ὑπερφυῶς ἄνευ σπορᾶς, σωματώσασαν Μῆτερ, καὶ ὑποκλίνοντες ψυχῶν, τὰ γόνατα κράζομεν· Ἱκέτευε ἵνα πάντες σωθῶμεν, ὡς πλουτοῦσα παῤῥησίαν πρὸς Θεόν.

Τοῦ Ὁσίου. Τὴν ζωοδόχον Πηγήν.

Γῆς τῶν προσκαίρων ἀρθεὶς τῇ ἀσκήσει σου, κατηγλαΐσθης τῇ αἴγλῃ τῆς χάριτος, καὶ Ἁγίων ἔτυχες, ἐν ὑψίστοις στάσεως· διὸ Χριστόν, Ἀμφιλόχιε, δυσώπει, ἐλεηθῆναι λαὸν τὸν χριστώνυμον.

Βίου προσκαίρου καλῶς τὸ κλυδώνιον, διαπεράσας ἱστίῳ ἀσκήσεως, τὸν λιμένα Ὅσιε, τῆς ζωῆς κατέλαβες, ἔνθα χαρᾶς μυστικῆς ἐπαπολαύων, αἴτει εἰρήνην ἡμῖν τοῖς τιμῶσί σε.

Α᾿νευφημοῦμεν πιστοί, Ἀμφιλόχιε, τῶν Μοναζόντων τὸ νέον σε καύχημα, ἐκτελοῦντες σήμερον, τὴν ἁγίαν μνήμη σου· σὺ δὲ Χριστῷ τῷ Θεῷ πρέσβευε Πάτερ, ἡμῖν δοθῆναι πταισμάτων συγχώρησιν.

Θεοτοκίον.

Υ῾μνολογοῦντες, Ἁγνή, τὴν λοχείαν σου , δι᾿ ἧς ὁ κόσμος ἐῤῥύσθη τοῦ πταίσματος, ἐκ ψυχῆς βοῶμέν σοι· Χαῖρε Μῆτερ Πάναγνε, τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἡ πλατυτέρα· Χαῖρε ἀνθρώπων, ἡ θεία ἀντίληψις.

Δεύτερος. Ἅπας γηγενής.

Α῎ρτῳ μυστικῷ, τῆς διδασκαλίας σου, πλείστους διέθρεψας, Πάτερ Ἀμφιλόχιε· τέλος δὲ ἔσχες μακαριώτατον, καὶ δαιτυμὼν λαμπρόμορφος, τραπέζης γέγονας, οὐρανίου, πάντων προμηθούμενος, τῶν τελούντων ἀξίως τὴν μνήμην σου.

Θήκην οἱ πιστοί, τῶν θείων λειψάνων σου, κατασπαζόμενοι, Πάτερ Ἀμφιλόχιε, τῆς χάριτός σου καταπολαύωμεν, καὶ ἐξ αὐτῆς ἰάματα, ἀπαρυόμενοι, τὸν Δεσπότην, τοῦ παντὸς δοξάζομεν, τὸν πραέων ἐν γῇ σε δοξάζοντα.

Πρέσβευε θερμῶς, Θεῷ Ἀμφιλόχιε, τῷ πανοικτίρμονι, ἐκ κινδύνων ῥύεσθαι, τοὺς ἐκτελοῦντας πόθῳ τὴν μνήμην σου, φυλάττειν δὲ τὴν μάνδραν σου, ἐκ πάσης θλίψεως, καὶ πταισμάτων, δοῦναι κἀμοὶ ἄφεσιν, τῷ τοὺς ὕμνους ἐκ πόθου σοι πλέξαντι.

Θεοτοκίον.

Υ῞ψιστον Ἁγνή, Θεὸν μετὰ σώματος, κυοφορήσασα, ὕψωσας τὴν ἔκπτωτον, ἀνθρώπων φύσιν, πρὸς τὴν ἀρχέγονον, ὡς ἀληθῶς κατάστασιν· διό σοι κράζομεν· Χαῖρε Μῆτερ, Κόρη παμμακάριστε, Θεοτόκε Θεοῦ νύμφη ἄφθορε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν θεῖον Ἀμφιλόχιον, Κυρίου τὸν θεράποντα, τῶν Μοναζόντων τὸν λύχνον, καὶ Ἱερέων τὸν τύπον, τῆς Πάτμου τὸ ἀπάνθισμα, καὶ Ἐκκλησίας καύχημα, δεῦτε πιστῶς τιμήσωμεν, ἵνα αὐτοῦ ταῖς πρεσβείαις, ῥυώμεθα ἐκ κινδύνων.

Ἕτερον. Ὅμοιον.

Χριστοῦ τὸ Εὐαγγέλιον, ἀσκητικῶς ἐπλήρωσας, καὶ εὐσεβείας τὸν λόγον, ἐκήρυξας θεοπνεύστως, ἐν τοῖς ἐσχάτοις ἔτεσι, παμμάκαρ Ἀμφιλόχιε· διὸ σε ἐθαυμάστωσεν, ὁ πανοικτίρμων Δεσπότης, θαυμάτων ταῖς ἐνεργείαις.

Θεοτοκίον.

Ρ῾ωννύμενος τῇ χάριτι, τοῦ σοῦ Υἱοῦ Πανάχραντε, ἀσκητικῇ πολιτείᾳ, διέπρεψεν ἐν ἐσχάτοις, ὁ θεῖος Ἀμφιλόχιος, μεθ᾽ οὗ ἀπαύστως πρέσβευε, ὑπὲρ ἡμῶν δεόμεθα, τῶν εὐλαβῶς προσκυνούντων, τὸν τόκον σου Θεοτόκε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ω῾ς ἐπίγειον Ἄγγελον, καὶ οὐράνιον ἄνθρωπον, συνελθόντες σήμερον εὐφημοῦμέν σε· σὺ γὰρ ἐσχάτοις ἐν ἔτεσι, Χριστῷ ἠκολούθησας, ἀρεταῖς ἀσκητικαῖς, καὶ Ὁσίων τῶν πρόπαλαι, Ἀμφιλόχιε, ἐμιμήσω τὸν βίον ἐν τῷ κόσμῳ, μεθ᾽ ὧν πρέσβευε Κυρίῳ, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

Ι῾ερώτατον βλάστημα, Χριστοδούλου τοῦ μάκαρος, τῆς φυτείας γέγονας Ἀμφιλόχιε, καὶ γεωργίᾳ τῇ κρείττονι, ὁσίας ἀσκήσεως, τοὺς καρποὺς εἰς ἑκατόν, μυστικῶς ἀνεβλάστησας, καὶ ἐξέθρεψας, τὸν λαὸν τοῦ Κυρίου ἐν ὑστέροις· διὰ τοῦτό σε τιμῶμεν, ἐπιτελοῦντες τὴν μνήμην σου.

Τῇ τελείᾳ ἀσκήσει σου, τῷ Θεῷ προσκολλώμενος, τῆς σοφίας ἔλαβες τὰ δωρήματα, καὶ μετανοίας ἐκήρυξας, ἀνθρώποις τὸ κήρυγμα, πλείστους τόπους διελθών, τῷ φωτὶ ὁδηγούμενος, Ἀμφιλόχιε, τοῦ ἐν σοὶ ἐνεργοῦντος Παρακλήτου, οὗ τὴν χάριν ἡμῖν αἴτει, τοῖς κατὰ χρέος τιμῶσί σε.

Τῶν τιμίων λειψάνων σου, τὴν μυρίπνοον λάρνακα, ἡ Μονή σου, Ἅγιε, θησαυρίζουσα, ὑπὲρ χρυσίον πολύτιμον, κηρύττει τὴν χάριν σου, καὶ προσπίπτουσα αὐτῇ, Ἀμφιλόχιε, κράζει σοι· Πάτερ Ὅσιε, προστατεύων τῆς ποίμνης σου μὴ παύσῃ, ἐξ αὐτῆς ἀπείργων πᾶσαν, τοῦ ἀρχεκάκου ἐπίθεσιν.

Δόξα. Ἦχος πλ. δ'.

Τὸν ἐν Μονασταῖς ἰσάγγελον, καὶ ἐν Ἱερεῦσι θαυμάσιον, ὡς τοῦ Εὐαγγελίου διδάσκαλον, Ἀμφιλόχιον τὸν Ὅσιον, ᾀσματικοῖς ἐγκωμίοις ἐπαινέσωμεν· ἀγγελικῇ γὰρ πολιτείᾳ, ἐκ Πάτμου ἀναλάμψας, τὴν Ἐκκλησίαν κατεφαίδρυνε, καὶ τῶν πιστῶν ποδηγέτης, πρὸς ἀρετῶν τὴν ἐπίδοσιν, διὰ λόγων μεστῶν σοφίας, καὶ ἀμέμπτου βίου παραδειγμάτων, ἐν ἐσχάτοις καιροῖς ἀναδέδεικται. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Μακαριώτατε Πάτερ, Ἀποστόλων συμμέτοχε, καὶ Ὁσίων συνόμιλε, ἐν δυνατῇ παῤῥησίᾳ, μὴ παύσῃ δεόμενος τοῦ Κυρίου, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ' καὶ στ' Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ιζ' τοῦ Ἰανουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Βίον ἐκτελέσας ἀσκητικόν, ἔρωτι Κυρίου, Ἀμφιλόχιε ἐπὶ γῆς, ἐν τῇ βασιλείᾳ, τῶν οὐρανῶν ἀγάλλῃ, ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν εὐφημούντων σε.

Ἕτερον.

Πάτμου τὸν φωστῆρα τὸν φαεινόν, ὑμνοῦμέν σε πόθῳ, Ἀμφιλόχιε οἱ πιστοί· μὴ οὖν καταισχύνῃς, τοὺς ἐπικαλουμένους, ἐν βίου ταῖς ἀνάγκαις, θεῖον προστάτην σε.

Δίστιχον.

Ῥόδου τὸν Ἐπίσκοπον Κύριλλον σκέπε,
Πόθῳ, Ἀμφιλόχιε, ὑμνήσαντά σε.